Aristófanes

LISÍSTRATA

23

UNIVERSIDAD NACIONAL AUTÓNOMA DE MÉXICO

Cuadernos del Centro de Estudios Clásicos 23

INSTITUTO DE INVESTIGACIONES FILOLÓGICAS

ARISTÓFANES

LISÍSTRATA

Introducción, traducción y notas de

ALBERTO PULIDO SILVA

EX LIBRIS ARMAUIRUMQUE



UNIVERSIDAD NACIONAL AUTÓNOMA DE MÉXICO

México 1987

Primera edición: 1987

DR © 1987. Universidad Nacional Autónoma de México
Ciudad Universitaria. 04510 México, D. F.

Dirección General de Publicaciones

Impreso y hecho en México

ISBN 968-36-0087-5

A Eugenio Aguirre,
con aprecio y amistad

INTRODUCCIÓN

La comedia *Lisístrata* junto con los *Pájaros* fue representada bajo el nombre de *Calístrato* el año 411, quizá en los Juegos Leneos. No sabemos quiénes fueron los otros concursantes o si obtuvo algún premio. La obra reanuda el motivo de la *Paz* en circunstancias sumamente adversas para Atenas, pues en 411 se consumó el desastre militar ateniense en Sicilia y los etarios estaban exhaustos. Se añadía la traición de Alcibíades causada por la profanación de los Hermes. Debido a esto se alió con los espartanos y buscaba una alianza con el rey persa. En fin, todas las colonias que jamás habían defeccionado contra Atenas, se aliaron con los espartanos. En este trance del aniquilamiento de su entidad cultural y espiritual compone esta noble comedia en la que culmina la idea de la paz panhelénica.

El objetivo de la comedia es lograr la reconciliación entre todos los beligerantes. Para lograr sus fines presenta la innovación de que las mujeres son por primera vez las protagonistas absolutas de la pieza teatral. Años antes, Eurípides había acentuado el papel femenino en sus tragedias.

Hay trazo que muestra la profundidad psicológica de Aristófanes: los hombres admiten difícilmente argumentos que no sean de fuerza y de violencia; en cambio las mujeres, heridas en lo más íntimo de su ser como madres y mujeres, más allá de toda realidad política las une a todas porque padecen un sufrimiento común y son las únicas capaces de hacer una paz general que alcance todos los territorios de habla y cultura griegas.

La protagonista, Lisístrata, reúne simbólicamente a todas las mujeres de Grecia y les propone un ardid salvador: no admitir el comercio carnal con sus maridos hasta que no acuerden la paz. Otras atenienses ancianas, con el pretexto de hacer un

sacrificio, se apoderan de la Acrópolis donde está depositado el erario militar, para impedir que los hombres usen el dinero con fines bélicos.

La obra comienza con el diálogo entre la protagonista Lisístrata y Calónica en el que la primera se queja de la negligencia de las mujeres atenienses. Este diálogo tachonado de alusiones obscenas, muy frecuentes en la obra, termina con la llegada de una tercera mujer ateniense, Mirrina, acompañada de otras. Lisístrata casi no tiene tiempo de reprenderlas porque llega la espartana Lampito con una dama beocia y otra corintia.

Después de un breve intermedio pasa inmediatamente en forma directa al centro de su proposición con una hábil introducción en la que pregunta a las mujeres si añoran a los padres de sus hijos, a sus maridos. Los lamentos de las mujeres muestran el meollo de la cuestión: los hombres están en la guerra y las mujeres no tienen el más mínimo consuelo de sus maridos alejados por la guerra.

Todas están dispuestas a los mayores sacrificios para obtener la paz. Pero ignoran qué sacrificio les exigirá Lisístrata: que se abstengan del trato sexual con sus maridos para forzarlos a hacer la paz. Al saberlo se produjo entre ellas el más terrible impacto; si ésta es la condición: que "continúe la guerra". Sin embargo logra obtener, con trabajos y venciendo tretas, la aceptación. La capacidad de contraposición de Aristófanes se muestra admirablemente; la inconmovible negativa inicial con variación de una escena aún lejana se halla contrapuesta con la enérgica firmeza con la que las mujeres ejecutan el proyecto.

Les demuestra además Lisístrata, en forma gráfica, que su proyecto no puede fallar y que aunque los hombres trataran de forzarlas al lecho conyugal, si se comportaran pasivamente, derrotarían a los hombres. De acuerdo en negarse al coito, expone la lideresa su plan complementario pero esencial a la obra. Ya dijimos lo referente al acto de las ancianas. Se juramentan y degüellan cómicamente un jarro de vino de Tasos y lo hacen escurrir en una copa. El juramento consiste en no echarle agua al vino, lo que equivalía a negarse a sus maridos.

Se retiran después hacia la Acrópolis para auxiliar a las ancianas. Lampito se va a Esparta, pero deja a las mujeres de Beocia y Corinto, con el compromiso de imponer a las lace-

demonias al juramento. La escena se vacía y el coro hace la parábasis o entrada. La comedia presenta la innovación de introducir dos coros, uno de viejos y otro de mujeres, que protagonizan la enemistad de los sexos. Los ancianos llevan cada uno una rama de oliva y una olla con tenazas en su interior: quieren quemar a las malditas viejas y evocan sus glorias pasadas de cuando expulsaron al rey Cleomenes en 508, con la ayuda de unos atenienses traidores, y conquistaron la Acrópolis. Después de graciosas estrofas y versos dedicados al fuego que llevan en sus ollas, se llega a la entrada del segundo coro, el de las mujeres, quienes optan por lo contrario de los viejos. Traen jarros de agua y se dirigen a la Acrópolis. Se enfrentan ambos coros, se insultan y terminan con una lucha grotesca: ellos quieren abrazar a las mujeres y éstas los empapan con sus jarros.

Hay un viraje con la llegada de un "próbulo" o comisario acompañado de arqueros escitas. El intento de sacar a las mujeres de la Acrópolis es más serio, pero por lo pronto el comisario hace un reporte muy vivo que se encamina al amor conyugal. Es una narración colorida y bella con el objetivo de hacer ver que ciertas acciones de las mujeres eran augurio funesto que presagiaba la triste situación del momento. Lo cual terminará haciendo abrir, aunque sea por la fuerza y con palancas, la Acrópolis. Cuando los escitas lo intentan, Lisístrata por sí misma abre las puertas y sale diciendo: "lo que aquí se necesita no son palancas, sino sentido común". Sin embargo, el comisario intenta aprehenderla por medio de los escitas, policía ateniense. Aparecen una por una Colónica y las demás mujeres, cada una defendiendo a la anterior para no ser detenidas. Termina con la salida a escena de una retahila de mujeres que le dan una paliza al comisario, lo que constituye la segunda victoria de las mujeres. Después de la victoria femenina se pasa al clásico *agón* verbal entre el comisario y Lisístrata y después otras mujeres.

Este *agón* tiene distintas partes en que se pregonan temas de humanidad en un *crescendo* temático que comienza superficialmente. El comisario trata de averiguar qué quieren materialmente las mujeres y la respuesta es concluyente: impedir que los hombres lleguen al tesoro y erario de la Confederación

ateniense, para que no puedan proseguir la guerra: las mujeres salvarán a los hombres.

La segunda parte de este *agón* expone el mal estado y desaliento al que han llegado los hombres por sus errores en la conducción del gobierno de Atenas. Cuando las mujeres, con clarividencia y discreción, proponen consejos prudentes a sus maridos, son rechazadas con aspereza y las hacen callar; pero si ahora los hombres callan ellas podrían arreglar la situación. Hay un interludio de treinta y cinco versos entre los protagonistas y la respuesta del coro.

Se ridiculiza a los militares que van armados al mercado de los víveres, y algún abuso de fuerza de un oficial contra los vendedores. Suceden diálogos violentos con el comisario sobre la eficacia del gobierno de las mujeres. Acude la respuesta humana: en la guerra las mujeres tienen hijos y en último término maridos; pero Lisístrata no se angustia por ella misma ni por las de su edad, sino por las doncellas que envejecen solas en sus cuartos sin que un hombre las ame y las haga sentirse verdaderamente mujeres. Ésta es la finura de Aristófanes que ennoblece la comedia.

El comisario sale derrotado en toda la línea y las mujeres se retiran al interior de la Acrópolis. Sigue el sustituto de la parábasis porque debido a los coros no puede haber una parábasis normal. Hay una segunda contraposición de ambos coros (614-705). Los viejos dicen que se quiere restaurar la tiranía y el medio para lograrlo es precisamente la reconciliación con los espartanos. Las mujeres responden que si los viejos aportan dinero para la guerra, ellas aportan hijos. No llegan a un acuerdo y se disponen al combate; en esta seudoparábasis se presenta un desaliento momentáneo de las mujeres. Lisístrata sale a escena encolerizada porque a las mujeres les ha asaltado la ausencia de sus maridos, y aquí se prepara una jocosa escena exótica entre Mirrina y su marido Cinesias. Así surge una serie de trucos jocosos y chuscos, que Lisístrata resuelve uno por uno. Sobresale aquella que se pone sobre el vientre el casco de Atenea para fingir gravidez.

El ideal constante y nobilísimo es el de una paz digna para todos. Lisístrata toma un recurso habitual en Aristófanes: expone un oráculo obscenamente equívoco, según el cual, la vic-

toria será de las mujeres que perseveren. Su eficacia es absoluta, todas las mujeres vuelven a la Acrópolis con Lisístrata dispuestas a alcanzar el triunfo final. La escena mencionada de Mirrina y Cinesias se lleva a cabo (834). Aparece luego un misántropo, Melanio y el coro femenino responde con la alabanza de Timón, personaje históricamente conocido.

Sigue un comentario lírico y cómico entre Cinesias y el coro, que hace reír. Vuelve a escena precipitadamente Lisístrata y la siguen las otras mujeres, porque vieron a un hombre que sube alocadamente la vertiente de la Acrópolis. Cuando reconocen que es Cinesias resuelven burlarse de él. Suceden las escenas de amor sexual desesperantes para Cinesias, y Mirrina burla a su marido y se retira. Es una escena cruda pero no inmoral, mucho menos pornográfica. Termina la escena con el ideal aristofánico del partido tradicional opuesto a las innovaciones de los sofistas y a las de Eurípides con sus tesis.

Enseguida el panorama varía radicalmente; por primera vez los hombres tomarán la parte activa y directiva en la acción. Llega un heraldo espartano en estado de erección y un pritano; aquel primero quiere ocultarla groseramente, pero cuando el pritano ateniense declara sin ambages que está en el mismo caso, resuelven comunicárselo a sus gobiernos ya que es el estado general de toda Grecia y la absoluta necesidad de llegar a un tratado general de paz. Se van y vuelve el coro mixto con aires de paz y se repite la declaración inicial del coro de ancianos: "no hay cosa más indomable que una mujer".

Terminan entendiéndose y se dirigen al público para celebrar la paz. Vuelven a escena los dos heraldos con algunos compatriotas. La enfermedad se ha agravado terriblemente. Los heraldos ya tienen el título de embajadores plenipotenciarios para hacer la paz, y nadie más adecuada que la Lisístrata para dirigir las negociaciones. El desenlace debe ser rápido. Sale Lisístrata y entra como en la *Paz* y los *Caballeros* una figura simbólica, la Reconciliación, doncella desnuda. El discurso de Lisístrata es de hermosa nobleza: pide la ayuda mutua de antaño entre los bandos que se habían prestado en momentos de apuro. Comienzan las discusiones sobre las condiciones de paz. En lugar de ciudades y regiones reales, Aristófanes crea un continuo equívoco obsceno muy divertido.

Los acuerdos llegan rápidamente y Lisístrata hace pasar a todos al interior de la Acrópolis para la purificación ritual y para llegar a la paz juramentada. Enseguida tiene lugar el banquete en que las mujeres obsequiarán a los negociadores. Lisístrata cierra la puerta de la Acrópolis y el coro de mujeres ofrece un interludio con ofertas ridículas al público. Vuelve el comisario a escena sin arqueros pero con atenienses. Quieren entrar a la Acrópolis pero la puerta está cerrada. Amenaza el coro de mujeres sentadas ante la puerta, pero ahora ya no hay resistencia. El pritano invita sin violencia y el coro de ancianos hace lo mismo.

Por último salen de la Acrópolis un ateniense y un pritano que hacen amable reseña de lo sucedido, establecida ya la paz dentro de la ciudadela y habla de lo acaecido en el banquete. Termina la comedia con bellos himnos líricos de un solista espartano y un coro de atenienses salidos del interior de la Acrópolis. Los maridos recuperan a sus mujeres.

Es admirable la poesía política de Aristófanes de convivencia, respeto mutuo y ayuda fraternal.

Es en realidad una de las mejores obras de Aristófanes, especialmente por el papel relevante que se le da a la mujer. Estamos ante los inicios del feminismo en el mejor sentido de la palabra.

Hay veintidós personajes actuantes y nueve mudos, varios de ellos agrupados.

SIGLA

R = Ravennas 137, 4 A . . . . . saec. X.

Γ = { (Laurentianus plut. 31,15) / Leidensis Voss. Gr. F. 52 }. saec. XIV.

B = Parisinus inter Regios 2715 . saec. XVI.

S (vel S^A, S^V...) = Suidae lectiones codicum AVSMG, de quibus quae sciri opus sunt in praefatione voluminis primi, p. XIX, n. 2, breviter exposui.

Σ = scholia.

$Σ^1$ = prius scholion.

$Σ^2$ = alterum scholion.

$Σ^λ$ = lemma scholii.

v. l. (Σ) = varia lectio (scholii).

par. = paragraphus (—) aut punctum duplex (:) personarum vices significans.

Π = fragmenta saeculi IV. ex. *Lys.* 433-447 et 469-485, ed. B. Grenfell and. A. Hunt, *Some classical fragments from Hermupolis* (*Mélanges Nicole,* Genève, 1905, 217-220).

TEXTOS GRIEGO Y ESPAÑOL

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ[1]

ΛΥΣΙΣΤΡΑΤΗ	ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ[7]
ΚΑΛΟΝΙΚΗ[2]	ΚΙΝΗΣΙΑΣ
ΜΥΡΡΙΝΗ[3]	ΠΑΙΔΙΟΝ[8] ΚΙΝΗΣΙΟΥ[9]
ΛΑΜΠΙΤΩ[4]	ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ[10]
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ[5]	ΠΡΥΤΑΝΙΣ[11]
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ[6]	ΛΑΚΩΝ[12]
ΠΡΟΒΟΥΛΟΣ	ΑΘΗΝΑΙΟΣ[13]

1 Index personarum deest in RB ‖ 2 Καλονίκη Wilamowitz : Καλο-νίκη Γ ‖ 3 Post Μυρρίνη Στρυμοδώρα (l. Στρυμόδωρος ; cf. ad 254, 266, 372, 603) add. Γ ‖ 4 Λαμπιτώ ; cf. 77 : Λαμπέτη Γ ‖ 5 Ante Χορός γερόντων Δράκης (cf. ad 256) add. Γ ‖ 6 Post Χορός γυναικῶν Στρατυλλάτης (l. -τυλλίς ; cf. ad 365-386, 439, 443, 447), Ὑπηρέτης (cf. ad 433-465), Θεράπων (cf. ad 1216, 1241) add. Γ ‖ 7 Γυναῖκές τινες Brunck ; cf. 728-780 : om. Γ ‖ 8 Παιδίον (Παῖς Brunck) van Leeuwen : om. Γ ‖ 9 Κινησίου Meineke : om. Γ ‖ 10 Λακεδαιμονίων Brunck ; cf. ad 980 : Λακώνων Γ ‖ 11 Πρύτανις ; cf. ad 932-1007, 1086-1188 : om. Γ ‖ 12 Λάκων Invitus (1515) : Πρέσβεις Λακεδαιμονίων Γ ‖ 13 Ἀθηναῖος Invitus (1515) : Βλέπυρος Γ ; cf. ad. 371.

PERSONAJES

Lisístrata	Algunas mujeres
Calónica	Cinesios
Mirrina	El hijo de Cinesias
Lampito	Un heraldo espartano
Coro de ancianos	Un pritáneo
Coro de mujeres	Un laconio
Comisario del pueblo	Un ateniense

(En el primer plano, la casa de Lisístrata de un lado y del otro la de Calónica. En el fondo los Propíleos. Una estrecha cuestecilla conduce ahí. Después la orquesta. En el segundo plano se abre la gruta de Pan entre las rocas. Es de mañana. Lisístrata pasea nerviosa ante su casa.)

ΛΥΣΙΣΤΡΑΤΗ

ΛΥΣΙΣΤΡΑΤΗ

Ἀλλ' εἴ τις εἰς Βακχεῖον αὐτὰς ἐκάλεσεν,
ἢ 'ς Πανὸς ἢ 'πὶ Κωλιάδ' εἰς Γενετυλλίδος,
οὐδ' ἂν διελθεῖν ἦν ἂν ὑπὸ τῶν τυμπάνων.
Νῦν δ' οὐδεμία πάρεστιν ἐνταυθοῖ γυνή·
πλὴν ἥ γ' ἐμὴ κωμῆτις ἥδ' ἐξέρχεται.
Χαῖρ', ὦ Κλεονίκη.

ΚΛΕΟΝΙΚΗ

Καὶ σύ γ', ὦ Λυσιστράτη.
Τί συντετάραξαι; Μὴ σκυθρώπαζ', ὦ τέκνον·
οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς.

ΛΥ. Ἀλλ', ὦ Κλεονίκη, κάομαι τὴν καρδίαν,
καὶ πόλλ' ὑπὲρ ἡμῶν τῶν γυναικῶν ἄχθομαι,
ὁτιὴ παρὰ μὲν τοῖς ἀνδράσιν νενομίσμεθα
εἶναι πανοῦργοι —

ΚΛ. Καὶ γάρ ἐσμεν νὴ Δία.

ΛΥ. εἰρημένον δ' αὐταῖς ἁπανταχοῦ ἐνθάδε
βουλευσομέναισιν οὐ περὶ φαύλου πράγματος,
εὕδουσι κοὐχ ἥκουσιν.

ΚΛ. Ἀλλ', ὦ φιλτάτη,
ἥξουσι· χαλεπὴ τοι γυναικῶν ἔξοδος.
Ἡ μὲν γὰρ ἡμῶν περὶ τὸν ἄνδρ' ἐκύπτασεν,
ἡ δ' οἰκέτην ἤγειρεν, ἡ δὲ παιδίον
κατέκλινεν, ἡ δ' ἔλουσεν, ἡ δ' ἐψώμισεν.

62-131, 200-267, 820-829 desunt in ΓΒ, 1035-finem in Γ, 1098-1236 in B ‖ 2 Κωλιάδ' εἰς Wilamowitz : Κωλιαδ' ἢ 'ς RΓ : Κωλιάδος ΣV ad Nub. 62 ‖ 6 et 9 Κλεο- Wilamowitz : Καλο- RΓ ‖ 6-603 Κλε. Wilamowitzio auctore Coulon : Καλ. RΓ ‖ 10 ἡμῶν R : ὑμῶν Γ ‖ 16 τοι Γ : τε R.

LISISTRATA

LISÍSTRATA

¡Ah! Si alguien las hubiera invitado a una bacanal,[1] a una fiesta de Pan, a la punta Colias[2, 3] o al templo de Genetílide, no se podría atravesar (la calle) a causa de sus tamboriles.[4] Pero ahora no ha venido una sola mujer...[5] Mas aquí sale de su casa mi vecina. ¡Buenos días Calónica![6]

CALÓNICA

Igualmente, Lisístrata. ¿Por qué estás tan inquieta?[7, 8] ¡No tengas ese aire triste, hija. No te sienta bien fruncir las cejas!

LISÍSTRATA

Me arde el corazón, Calónica; estoy muy angustiada por nosotras, las mujeres, porque[9] ante los hombres pasamos por ser malignas.[10]

CALÓNICA

Sí, y lo somos, por Zeus.

LISÍSTRATA

Además, cuando se les dice que se presenten[11] aquí para un asunto importante, duermen y no vienen.

CALÓNICA

Ya vendrán querida. Difícil es la salida de las mujeres, pues de nosotras, una está ocupada con su marido, otra despierta al esclavo, una más acuesta al niño o lo baña y le da de comer.[12]

ΛΥ. Ἀλλ' ἕτερα τἄρ' ἦν τῶνδε προὐργιαίτερα
αὐταῖς.
ΚΛ. Τί δ' ἐστίν, ὦ φίλη Λυσιστράτη,
ἐφ' ὅ τι ποθ' ἡμᾶς τὰς γυναῖκας ξυγκαλεῖς;
Τί τὸ πρᾶγμα; Πηλίκον τι;
ΛΥ. Μέγα.
ΚΛ. Μῶν καὶ παχύ;
ΛΥ. Νὴ Δία παχὺ (πάνυ).
ΚΛ. Κἆτα πῶς οὐχ ἥκομεν;
ΛΥ. Οὐχ οὗτος ὁ τρόπος· ταχὺ γὰρ ἂν ξυνήλθομεν.
Ἀλλ' ἔστιν ὑπ' ἐμοῦ πρᾶγμ' ἀνεζητημένον
πολλαῖσί τ' ἀγρυπνίαισιν ἐρριπτασμένον.
ΚΛ. Ἦ πού τι λεπτὸν ἐστι τοὐρριπτασμένον;
ΛΥ. Οὕτω γε λεπτὸν ὥσθ' ὅλης τῆς Ἑλλάδος
ἐν ταῖς γυναιξίν ἐστιν ἡ σωτηρία.
ΚΛ. Ἐν ταῖς γυναιξίν; Ἐπ' ὀλίγου τἄρ' εἶχετο.
ΛΥ. Ὡς ἔστ' ἐν ἡμῖν τῆς πόλεως τὰ πράγματα,
ἢ μηκέτ' εἶναι μήτε Πελοποννησίους —
ΚΛ. Βέλτιστα τοίνυν μηκέτ' εἶναι νὴ Δία.
ΛΥ. Βοιωτίους τε πάντας ἐξολωλέναι.
ΚΛ. Μὴ δῆτα πάντας γ', ἀλλ' ἄφελε τὰς ἐγχέλεις.
ΛΥ. Περὶ τῶν Ἀθηνῶν δ' οὐκ ἐπιγλωττήσομαι
τοιοῦτον οὐδέν, ἀλλ' ὑπονόησον σύ μοι.
Ἦν δὲ ξυνέλθωσ' αἱ γυναῖκες ἐνθάδε,
αἵ τ' ἐκ Βοιωτῶν αἵ τε Πελοποννησίων
ἡμεῖς τε, κοινῇ σώσομεν τὴν Ἑλλάδα.

20 τἄρ' Elmsley ad Ach. 323 : γὰρ RΓ ‖ προὐργιαίτερα R : προυργιαίτατα Γ ‖ 24 νὴ Δία ⟨πάνυ⟩ παχύ (in παχὺ ⟨πάνυ⟩ corr. Bamberg et Kübler) Meineke ; cf. ad Pac. 261 : καὶ (supersor. Γ) νὴ Δία παχὺ RΓ νὴ τὸν Δία παχύ B ; cf. ad Equ. 617, Pac. 566, Plut. 910 ‖ 27 πολλαῖσί τ' (-αῖς τ' S^{MG}) RS : πολλαῖσιν Γ ‖ 31 τἄρ' Bergk : γὰρ R γ' ἄρ' Γ ‖ 33 μήτε Γ : μὴ δὲ R ‖ 35 γ' Γ : om. R ‖ 37 Ἀθηνῶν R : Ἀθηναίων ΓS.

LISÍSTRATA

Habría para ellas asuntos más urgentes que éste:

CALÓNICA

Y ¿qué es, querida Lisístrata, por qué nos convocas a las mujeres? ¿Cuál es este negocio? ¿De qué tamaño?

LISÍSTRATA

Grande . . . [13]

CALÓNICA

¿Y también enorme?

LISÍSTRATA

También enorme, por Zeus.

CALÓNICA

Y entonces ¿por qué no han llegado aún? [14]

LISÍSTRATA

Porque no es de esa clase. [15] Si no, ya nos hubiéramos reunido. Se trata de algo que yo he planeado [16] y examinado durante mis largos insomnios. [17]

CALÓNICA

¿Es delgado [18] lo que has planeado?

LISÍSTRATA

Tan delgado, que la salvación toda de Grecia depende de las mujeres.

CALÓNICA

¿De las mujeres? En poca cosa se sostiene.

LISÍSTRATA

Piensa que los asuntos de la ciudad están todos en nuestras manos, o que no habrá más peloponesios.

CALÓNICA

¡Magnífico! Que no quede ninguno, por Zeus.

LISÍSTRATA

Y que resulten aniquilados todos los beocios.

CALÓNICA

Bueno, no todos; que se salven siquiera las anguilas. [19]

LISÍSTRATA

En cuanto a Atenas no diré nada malo [20] de ninguna manera. Entiéndeme tú misma. Si se reúnen aquí las mujeres de Beocia, las del Peloponeso y nosotras, todas juntas [21] salvaremos a la Hélade.

ΚΛ. Τί δ' ἂν γυναῖκες φρόνιμον ἐργασαίατο
ἢ λαμπρόν, αἳ καθήμεθ' ἐξηνθισμέναι,
κροκωτοφοροῦσαι καὶ κεκαλλωπισμέναι
καὶ Κιμβερίκ' ὀρθοστάδια καὶ περιβαρίδας;

ΛΥ. Ταῦτ' αὐτὰ γάρ τοι κἄσθ' ἃ σώσειν προσδοκῶ,
τὰ κροκωτίδια καὶ τὰ μύρα καὶ περιβαρίδες
χἠγχουσα καὶ τὰ διαφανῆ χιτώνια.

ΚΛ. Τίνα δὴ τρόπον ποθ';

ΛΥ. Ὥστε τῶν νῦν μηδένας
ἀνδρῶν ἐπ' ἀλλήλοισιν αἴρεσθαι δόρυ —

ΚΛ. Κροκωτὸν ἄρα νὴ τὼ θεὼ 'γὼ βάψομαι.

ΛΥ. μηδ' ἀσπίδα λαβεῖν —

ΚΛ. Κιμβερικὸν ἐνδύσομαι.

ΛΥ. μηδὲ ξιφίδιον.

ΚΛ. Κτήσομαι περιβαρίδας.

ΛΥ. Ἆρ' οὐ παρεῖναι τὰς γυναῖκας δῆτ' ἐχρῆν;

ΚΛ. Οὐ γὰρ μὰ Δί' ἀλλὰ πετομένας ἥκειν πάλαι.

ΛΥ. Ἀλλ', ὦ μέλ', ὄψει τοι σφόδρ' αὐτὰς Ἀττικάς,
ἅπαντα δρώσας τοῦ δέοντος ὕστερον.
Ἀλλ' οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα,
οὐδ' ἐκ Σαλαμῖνος.

ΚΛ. Ἀλλ' ἐκεῖναί γ' οἶδ' ὅτι
ἐπὶ τῶν κελήτων διαβεβήκασ' ὄρθριαι.

ΛΥ. Οὐδ' ἂς προσεδόκων κἀλογιζόμην ἐγὼ
πρώτας παρέσεσθαι δεῦρο τὰς Ἀχαρνέων

42 ἐργασαίατο RΓ : ἐργάσαιντο Clemens Alex. Paedag. II 10, p35 ἐργασαίμεθα Clem. III 3, p54 ‖ 43 ἐξηνθισμέναι RΓSΣ^{RS} Clem. II 10, p35 : ἐξανθισμέναι Clem. III 3, p54 ‖ 44 κροκωτο- Γ : κροκωτὰ RS ‖ 45 Κιμβερίκ' S : κιμβερικ R κιμμερικ- Γ ‖ 46-47 vers. post 48 transp. R ‖ 47 καὶ Reisig : καὶ RΓ ‖ 49 μηδένας Meineke : μηδένα RΓ ‖ 52 μηδ' R : μήτ' Γ ‖ ἀσπίδα R : ἀσπίδας Γ ‖ Κιμβερικὸν R : Κιμμερικὸν Γ Κιμβέρινον Srel. Κιμμέρινον S^{A} ‖ 53 μηδὲ R : μήτε Γ ‖ 54 ἆρ' Γ : ἄρ' R ‖ 58 τοι Γ : γε R ‖ 60 ὄρθριαι R : ὄρθιαι ΓS ‖ 61 ἐγὼ Γ : ἐγὼν R ‖ 62-131 desunt in ΓB.

CALÓNICA

¿Qué quieren que hagan de prudente[22] o brillante las mujeres, cuando nos pasamos la vida en casa, sentadas con los afeites,[23] acicalándonos mucho, con nuestras túnicas azafranadas,[24] con los vestidos a plomo,[25] las cimbéricas y los peribárides?[26]

LISÍSTRATA

Esto es precisamente lo que creo que nos salvará: las túnicas azafranadas y los perfumes y los peribárides y la ancusa y los vestidos transparentes.

CALÓNICA

¿De qué modo?

LISÍSTRATA

De manera que ahora ninguno[27] de estos hombres tome la lanza contra otro...

CALÓNICA

Entonces, por ambas diosas,[28] me teñiré una túnica de azafrán.

LISÍSTRATA

Ni tome el escudo...

CALÓNICA

Voy a vestirme a la moda cimeria.

LISÍSTRATA

Ni la espada...

CALÓNICA

Me compraré los peribárides.

LISÍSTRATA

¿No deberían estar ya aquí todas las mujeres?

CALÓNICA

¡Sí, por Zeus! Deberían haber llegado volando hacia aquí hace tiempo.

LISÍSTRATA

Mas, ¡ah!, mi buena amiga.[29] Tú verás que son verdaderas atenienses en que hacen todo después de lo debido. No hay tampoco ninguna mujer paraliense[30] ni de Salamina.

CALÓNICA

Pienso que las madrugadoras han cruzado en sus lanchas[31,32] desde el amanecer.

γυναῖκας, οὐχ ἥκουσιν.

ΚΛ. Ἦ γοῦν Θεογένους
ὡς δεῦρ' ἰοῦσα τἀκάτειον ἥρετο.
Ἀτὰρ αἵδε καὶ δή σοι προσέρχονταί τινες.

ΛΥ. Αἵδ' αὖθ' ἕτεραι χωροῦσί τινες.

ΚΛ. Ἰοὺ ἰού,
πόθεν εἰσίν;

ΛΥ. Ἀναγυρουντόθεν.

ΚΛ. Νὴ τὸν Δία·
ὁ γοῦν Ἀνάγυρός μοι κεκινῆσθαι δοκεῖ.

ΜΥΡΡΙΝΗ

Μῶν ὕστεραι πάρεσμεν, ὦ Λυσιστράτη;
Τί φῄς; Τί σιγᾷς;

ΛΥ. Οὔ σ' ἐπαινῶ, Μυρρίνη,
ἥκουσαν ἄρτι περὶ τοιούτου πράγματος.

ΜΥ. Μόλις γὰρ ἠῦρον ἐν σκότῳ τὸ ζώνιον.
Ἀλλ' εἴ τι πάνυ δεῖ, ταῖς παρούσαισιν λέγε.

ΚΛ. Μὰ Δί' ἀλλ' ἐπαναμείνωμεν ὀλίγου γ' εἵνεκα
τάς τ' ἐκ Βοιωτῶν τάς τε Πελοποννησίων
γυναῖκας ἐλθεῖν.

ΛΥ. Πολὺ σὺ κάλλιον λέγεις.
Ἤδὶ δὲ καὶ δὴ Λαμπιτὼ προσέρχεται.
Ὦ φιλτάτη Λάκαινα, χαῖρε, Λαμπιτοῖ.
Οἷον τὸ κάλλος, γλυκυτάτη, σου φαίνεται.
Ὡς δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου.
Κἄν ταῦρον ἄγχοις.

ΛΑΜΠΙΤΩ

Μάλα γ', οἶδ', ναὶ τὼ σιώ·

63 Θεο- Σ^R : Θεα- $R\Sigma^3$ ‖ 64 τἀκάτειον van Leeuwen : τἀκάτιον $R\Sigma^{R1}$ δούκάτειον Σ^{R2S} ‖ ἥρετο (ἀνήρετο Biset) Bergler : ἥρετο $R\Sigma^S$ ‖ 66 Αν. Dobree : om. R ‖ 70 οὔ σ'... Μυρρίνη Halbertsma ; cf. ad Vesp. 52 : οὐκ... Μυρρίνη R ‖ 74-81 Καλ. (Κλε. ; cf. ad. 6-603) et Αυσ. van Leeuwen : Αυσ. et Μυρ. et Αυσ. ante 78 R ‖ 79 γλυκυτάτη Biset (-Port) : ὦ γλυκυτάτη R ‖ 81 γ' Reisig : γάρ R ‖ τὼ Σ^R : om. R.

LISÍSTRATA

Las acarnienses [33] que yo esperaba y calculaba que se presentarían aquí las primeras, no han llegado.

CALÓNICA

La mujer de Teógenes [34] se habría asido a la estatua de Hécate [35] como para llegar aquí; sin embargo, ya se acercan algunas a ti.

LISÍSTRATA

Y algunas otras que a su vez avanzan.

CALÓNICA

¡Puff! ¡Puff! (*se tapa la nariz*). ¿De dónde son?

LISÍSTRATA

De Anagiro. [36]

CALÓNICA

Sí, por Zeus. Me parece que el Anagironte ha estado totalmente revuelto.

MIRRINA

¿Acaso hemos llegado tarde, Lisístrata? ¿Qué dices? ¿Por qué callas?

LISÍSTRATA

No te alabo, Mirrina, el haber llegado apenas, para asunto tan importante.

MIRRINA

Resulta que tuve problemas para hallar en la oscuridad mi pequeño cinturón. Mas si el asunto es urgente, comunícalo ahora a las que estamos aquí.

CALÓNICA

No, por Zeus, esperemos un poco a que lleguen las beocias y las peloponesias.

LISÍSTRATA

Muy bien dicho (*se acerca la espartana Lampito, acompañada de una beocia y una corintia*). Aquí [37] llega Lampito. ¡Salud, queridísima espartana Lampito! ¡Cómo resplandece tu belleza, dulcísima! ¡Qué buen color! ¡Qué vigoroso cuerpo! [38] ¡Estrangularías [39] a un toro!

γυμνάζδομαι γὰρ καὶ ποτὶ πυγὰν ἄλλομαι.

ΚΛ. Ὡς δὴ καλὸν τὸ χρῆμα τῶν τιτθῶν ἔχεις.

ΛΑ. Ἅπερ ἱαρεῖόν τοί μ' ὑποψαλάσσετε.

ΛΥ. Ἡδὶ δὲ ποδαπὴ 'σθ' ἡ νεᾶνις ἀτέρα;

ΛΑ. Πρέσβειρά τοι ναὶ τὼ σιὼ Βοιωτία
ἵκει ποθ' ὑμέ.

ΛΥ. Νὴ Δί' ὡς Βοιωτία
καλόν γ' ἔχουσα τὸ πεδίον.

ΚΛ. Καὶ νὴ Δία
κομψότατα τὴν βληχὼ γε παρατετιλμένη.

ΛΥ. Τίς δ' ἀτέρα παῖς;

ΛΑ. Χαῖα ναὶ τὼ σιώ,
Κορινθία δ' αὖ.

ΚΛ. Χαία νὴ τὸν Δία
δῆλη 'στὶν οὖσα ταυταγὶ τἀντευθενί.

ΛΑ. Τίς δ' αὖ συναλίαξε τόνδε τὸν στόλον
τὸν τῶν γυναικῶν;

ΛΥ. Ἥδ' ἐγώ.

ΛΑ. Μύσιδδέ τοι
ὅ τι λῇς ποθ' ἁμέ.

ΚΛ. Νὴ Δί', ὦ φίλη γύναι,
λέγε δῆτα τὸ σπουδαῖον ὅ τι τοῦτ' ἐστί σοι.

ΛΥ. Λέγοιμ' ἂν ἤδη. Πρὶν λέγειν ⟨δ'⟩, ὑμᾶς τοδὶ
ἐπερῆσομαί, τι μικρόν.

ΚΛ. Ὅ τι βούλει γε σύ.

82 -μαι γὰρ Halbertsma : -μαί γε RS ‖ 83 Κλε. Coulon : Λυσ. R ‖ τιτθῶν Scaliger . τιτθίων R ‖ 84 ἱαρεῖον van Herwerden : ἱερεῖον RS ‖ 85 ἀτέρα Dindorf : ἠτέρα R ‖ 87 ὡς Bothe ; cf. ad. 572 : ὦ R ‖ 88 Καλ. (Κλε.; cf. ad. 6-603) Bentley : Λαμ. R ‖ 89 τὴν Bentley : τἀν R ‖ 90 ἀτέρα Dindorf : ἠτέρα R ‖ χαῖα (-ΐ- Ahrens) Invernizi : χαία μὲν RS ‖ 91 Κλε. Coulon : Λυσ. R ‖ 93 συν- Brunck : ξυν- R ‖ 94 ἤδ' Brunck : ἄδ' R ‖ μύσιδδέ τοι Bentley ; μυσιδδέτω RΣ^{R} ‖ 95 λῇς R : λῇ Σ^{R} ‖ 95-96 Κλε. νὴ... λέγε Coulon : Λαμ. νὴ... Μυρ. λέγε R ‖ 97 ⟨δ'⟩ Brubachiana (ed. Francof. 1544) : om. R ‖ 98 interpung. sign. ante τι Bothe ; cf. ad Av. 465 : om. R ‖ Κλε. Coulon : Μυρ. R.

LAMPITO

Así lo creo, por los Dióscuros.[40] Yo me ejercito en la gimnasia y salto con los talones contra las nalgas.[41]

CALÓNICA

¡Y qué pezones tan lindos tienes!

LAMPITO

Me has estado manoseando como a una víctima.[42]

LISÍSTRATA

Y esta otra muchacha ¿de dónde es?

LAMPITO

De una familia de "rango", por ambos dioses, es una beocia la que llega ante ti.

LISÍSTRATA

¡Por Zeus! Como beocia tiene un hermoso "campo".[43]

LAMPITO

Y ¡por Zeus!, está bellísimamente depilada[44] del pubis.

LISÍSTRATA

¿Y esa otra jovencita?

LAMPITO

De una "noble"[45] familia, por los Dióscuros, y corintia.

LISÍSTRATA

"Noble" sí, por Zeus, lo parece mucho de este lado y del otro.

LAMPITO

Pero ¿quién ha convocado a esta asamblea de mujeres?

LISÍSTRATA

Yo misma.

LAMPITO

Entonces ya dinos qué es lo que quieres.

CALÓNICA

Sí; por Zeus, querida mujer, sepamos cuál es este importante asunto que te preocupa.

LISÍSTRATA

Voy a decirlo, pero antes haré una pregunta, una pequeña pregunta.

CALÓNICA

La que tú quieras.

ΛΥ. Τοὺς πατέρας οὐ ποθεῖτε τοὺς τῶν παιδίων
ἐπὶ στρατιᾶς ἀπόντας; Ἐῶ γὰρ οἶδ' ὅτι
πάσαισιν ὑμῖν ἐστιν ἀποδημῶν ἀνήρ.

ΚΛ. Ὁ γοῦν ἐμὸς ἀνὴρ πέντε μῆνας, ὦ τάλαν,
ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτη.

ΜΥ. Ὁ δ' ἐμός γε τελέους ἑπτὰ μῆνας ἐν Πύλῳ.

ΛΑ. Ὁ δ' ἐμός γα, καἰ κ' ἐκ τᾶς ταγᾶς ἔλθῃ ποκά,
πορπακισάμενος φροῦδος ἀμπτάμενος ξέα.

ΛΥ. Ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.
Ἐξ οὗ γὰρ ἡμᾶς προὔδοσαν Μιλήσιοι,
οὐκ εἶδον οὐδ' ὤλισθον ὀκτωδάκτυλον,
ὃς ἦν ἂν ἡμῖν σκυτίνη 'πικουρία.
Ἐθέλοιτ' ἂν οὖν, εἰ μηχανὴν εὑρειμ' ἐγώ,
μετ' ἐμοῦ καταλῦσαι τὸν πόλεμον;

ΚΛ. Νὴ τὼ θεὼ
ἔγωγέ τἄν, κἂν εἴ με χρείη τοὔγκυκλον
τουτὶ καταθεῖσαν ἐκπιεῖν αὐθημερόν.

ΜΥ. Ἐγὼ δέ γ' ἄν, κἂν ὥσπερεὶ ψῆτταν δοκῶ,
δοῦναι ἂν ἐμαυτῆς παρατεμοῦσα θἠμισυ.

ΛΑ. Ἐγὼν δὲ καί κα ποττὸ Ταΰγετον ἄνω
ἔλσοιμ' ὅπα μέλλοιμί γ' εἰράναν ἰδήν.

ΛΥ. Λέγοιμ' ἂν· οὐ δεῖ γὰρ κεκρύφθαι τὸν λόγον.
Ἡμῖν γάρ, ὦ γυναῖκες, εἴπερ μέλλομεν
ἀναγκάσειν τοὺς ἄνδρας εἰρήνην ἄγειν,
ἀφεκτέ' ἐστί —

100 εὖ Bentley : Μυρ. εὖ R ‖ 102 Κλε. (Καλ.) Brunck : Αυσ. R ‖ 103 Εὐκράτη S^A : Εὐκράτην R Εὐκράτης $S^{rel.}$ ‖ 105 καἰ κ' Ahrens : κἂν R ‖ 106 πορπακι- Σ^{RS} : πορπατι- R ‖ 109 ὀκτω-R : ὀκτα- S ‖ 112 Κλε. Coulon : Μυρ. R ‖ 113 ἔγωγέ τἄν, κἂν Lenting : ἔγωγ' ἂν κἂν R ἐγὼ γ' ἂν κἂν $S^{rel.}$ ἐγὼ γ' ἂν S^{MG} ‖ χρείη Dawes : χρῇ. ἢ R χρεῖ' ᾖ S ‖ 115 Μυρ. Coulon : Καλ. R ‖ ὥσπερεὶ S : ὥσπερ ἢ R ‖ 116 ἂν R : om. S ‖ παρατεμοῦσα Elmsley ad Soph. Oed. R. 1227 : παρταμοῦσα RS ‖ 117 ἐγὼν Blaydes : ἐγὼ R ‖ Ταΰγετον Bothe : Ταΰγετον γ' R ‖ 118 ἰδήν Bergk : ἰδεῖν R.

LISÍSTRATA

¿No sufren por los padres de sus hijos que están tan alejados a causa de la guerra? Pues sé que todas ustedes tienen un marido ausente.

CALÓNICA

El mío, pobre, hace cinco meses que está lejos en Tracia para vigilar a Eucrates. [46]

LISÍSTRATA

Y el mío en Pilos [47] desde [48] hace siete meses.

LAMPITO

Y mi marido, si viene alguna vez desde su regimiento, pronto toma su escudo y desaparece volando.

LISÍSTRATA

No queda uno, ni la chispa de un amante. Porque después que nos traicionaron los milesios, no he visto ni siquiera un "consolador" [49] de ocho dedos de largo que pudiera aliviarnos con su cuero. ¿Consentirán si, junto conmigo, encontrarán el medio de poner fin a guerra?

CALÓNICA

Por las dos diosas, aunque tuviera que empeñar este vestido y bebérmelo todo hoy mismo.

MIRRINA

Y yo también estoy dispuesta, aunque me tuviera que partir en dos como una "platija" [50] y dar la mitad de mí misma.

LAMPITO

Y yo subiría a la cima del Taigeto, si debiera ver ahí la paz.

LISÍSTRATA

Voy a hablar ya. No es necesario que el asunto quede secreto. Nosotras las mujeres tenemos que abstenernos, si queremos obligar a nuestros maridos a hacer la paz...

ΚΛ. Τοῦ; φράσον.
ΛΥ. Ποήσετ' οὖν;
ΚΛ. Ποήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.
ΛΥ. Ἀφεκτέα τοίνυν ἐστὶν ἡμῖν τοῦ πέους.
Τί μοι μεταστρέφεσθε; Ποῖ βαδίζετε;
Αὖται, τί μοιμυᾶτε κἀνανεύετε;
Τί χρῶς τέτραπται; Τί δάκρυον κατείβεται;
Ποήσετ' ἢ οὐ ποήσετ'; Ἢ τί μέλλετε;
ΚΛ. Οὐκ ἂν ποήσαιμ', ἀλλ' ὁ πόλεμος ἑρπέτω.
ΜΥ. Μὰ Δί' οὐδ' ἔγωγ' ἄν, ἀλλ' ὁ πόλεμος ἑρπέτω.
ΛΥ. Ταυτὶ σὺ λέγεις, ὦ ψῆττα; Καὶ μὴν ἄρτι γε
ἔφησθα σαυτῆς κἂν παρατεμεῖν θἅμισυ.
ΚΛ. Ἀλλ', ἀλλ' ὅ τι βούλει. Κἄν με χρῇ, διὰ τοῦ πυρὸς
ἐθέλω βαδίζειν. Τοῦτο μᾶλλον τοῦ πέους·
οὐδὲν γὰρ οἷον, ὦ φίλη Λυσιστράτη.
ΛΥ. Τί δαὶ σύ;
ΜΥ. Κἀγὼ βούλομαι διὰ τοῦ πυρός.
ΛΥ. Ὦ παγκατάπυγον θἠμέτερον ἅπαν γένος.
Οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσιν αἱ τραγῳδίαι·
οὐδὲν γὰρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.
Ἀλλ', ὦ φίλη Λάκαινα, — σὺ γὰρ ἐὰν γένῃ
μόνη μετ' ἐμοῦ, τὸ πρᾶγμ' ἀνασωσαίμεσθ' ἔτ' ⟨ἄν⟩, —
ξυμψήφισαί μοι.
ΛΑ. Χαλεπὰ μέν ναὶ τὼ σιὼ
γυναῖκας ὑπνῶν ἐστ' ἄνευ ψωλᾶς μόνας.
Ὅμως γα μάν· δεῖ τᾶς γὰρ εἰράνας μάλ' αὖ.

124 ἐστὶν ἡμῖν Bentley : ἡμῖν ἐστιν R ‖ 126 μοιμυᾶτε L. Dindorf in Thesauro V 1238 cl. Hesych. μοιμυᾶν : μοι μνᾶτε RS Σ^{RS} ‖ 129 et 130 Κλε. et Μυρ. Coulon : Μυρ. et Καλ. R ‖ ἑρπέτω R : ἑρρέτω S ‖ 130 ἔγωγ' ἄν Reisig : ἐγὼ γὰρ R ‖ 133 ἀλλ' ἀλλ' RΓ : ἀλλ' ἀλλ' B ‖ χρῇ Brunck : χρὴ RΓ ‖ 136 Μυρ. R : Ἄλλη Γ ‖ 137 παγκαταπύγον (in -κατάπυγον corr. Brunck) Reiske : πᾶν καταπύγον RΓ ‖ 141 ἀνα- Γ : ἂν R ‖ ἔτ' ⟨ἄν⟩ Brunck : ἔτι R ‖ 144 γα Scaliger : γε RΓ ‖ μάν· δεῖ Tyrwhitt : μ' ἂν δεῖ. R μὰν δεῖ. Γ.

CALÓNICA

¿De qué cosa? Habla.

LISÍSTRATA

¿Lo harán ustedes?

CALÓNICA

Lo haremos, aunque tuviéramos que morir.

LISÍSTRATA

Pues bien, debemos abstenernos de la verga ... Pero, ¿por qué voltean los ojos? ¿A dónde van ustedes? ¿Por qué hacen muecas [51] y fruncen las cejas? ¿Por qué cambian de color? [52] ¿Por qué se les salen las lágrimas? ¿Quieren hacerlo, o no? ¿Qué las detiene?

CALÓNICA

Yo no podría ... Que continúe la guerra.

MIRRINA

Menos yo por Zeus. Sí, que continúe la guerra.

LISÍSTRATA

¿Eres tú la que así hablas, platija, que decías hace un instante que te partirías a lo largo por la mitad?

CALÓNICA

Otra cosa, la qué tú quieras; si es necesario pasaría a través del fuego. Estoy pronta a hacerlo. Mejor esto, que sin verga, porque no hay nada como ella, mi querida Lisístrata.

LISÍSTRATA

¿Y tú? (*a Mirrina*).

MIRRINA

Yo quiero atravesar el fuego.

LISÍSTRATA

¡Asquerosa [53] ralea la nuestra! No en vano hacen las tragedias sobre nosotras. Porque no somos más que "Poseidón y la barca" [54] (*a Lampito*). Pero tú al menos, mi querida espartana, estás de acuerdo conmigo; aunque quedemos solas tú y yo podremos aún arreglar las cosas. Vota de acuerdo [55] con mi propuesta.

ΛΥ. Ὦ φιλτάτη σὺ καὶ μόνη τούτων γυνή.

ΚΛ. Εἰ δ' ὡς μάλιστ' ἀπεχοίμεθ' οὗ σὺ δὴ λέγεις, —
ὃ μὴ γένοιτο, — μᾶλλον ἂν διὰ τουτογὶ
γένοιτ' ἂν εἰρήνη;

ΛΥ. Πολύ γε νὴ τὼ θεώ.
Εἰ γὰρ καθήμεθ' ἔνδον ἐντετριμμέναι,
κἂν τοῖς χιτωνίοισι τοῖς Ἀμοργίνοις
γυμναὶ παρίοιμεν δέλτα παρατετιλμέναι,
στύοιντο δ' ἄνδρες κἀπιθυμοῖεν σπλεκοῦν,
ἡμεῖς δὲ μὴ προσιείμεθ', ἀλλ' ἀπεχοίμεθα,
σπονδὰς ποήσαιντ' ἂν ταχέως, εὖ οἶδ' ὅτι.

ΛΑ. Ὁ γὼν Μενέλαος τὰς Ἑλένας τὰ μαλά πα
γυμνὰς παραϊδὼν ἐξέβαλ', οἰῶ, τὸ ξίφος.

ΚΛ. Τί δ', ἢν ἀφιῶσ' ἄνδρες ἡμᾶς, ὦ μέλε;

ΛΥ. Τὸ τοῦ Φερεκράτους, κύνα δέρειν δεδαρμένην.

ΚΛ. Φλυαρία ταῦτ' ἐστὶ τὰ μεμιμημένα.
Ἐὰν λαβόντες δ' εἰς τὸ δωμάτιον βίᾳ
ἕλκωσιν ἡμᾶς;

ΛΥ. Ἀντέχου σὺ τῶν θυρῶν.

ΚΛ. Ἐὰν δὲ τύπτωσιν;

ΛΥ. Παρέχειν χρὴ κακὰ κακῶς·
οὐ γὰρ ἔνι τούτοις ἡδονὴ τοῖς πρὸς βίαν.
Κἄλλως ὀδυνᾶν χρή· κἀμέλει ταχέως πάνυ
ἀπεροῦσιν. Οὐ γὰρ οὐδέποτ' εὐφρανθήσεται
ἀνήρ, ἐὰν μὴ τῇ γυναικὶ συμφέρῃ.

146 Καλ. R : Μυρ. Γ ‖ σὺ δὴ R : δὴ σὺ Γ ‖ 147 τουτογὶ R : τουτονὶ Γ ‖ 148-149 γένοιτ'... Λυσ. πολύ... εἰ Γ : Λυσ. γένοιτ'... Καλ. πολύ... Λυσ. εἰ R ‖ 149 καθήμεθ' Dobree : καθήμεθ' RΓ ‖ 152 στύοιντο δ' ἄνδρες Bothe : στύοιντ' ἂν ἄνδρες RΓS ‖ σπλεκοῦν Hesych. ; cf. Plut. 1082 : πλεκοῦν RΓS ‖ 153 -είμεθ' (in -ιαίμεθ' corr. Coulon ; ι correpta ut in Av. 946 ξυνίημ') Halbertsma : -ίοιμεν RΓ ‖ -εχοίμεθα Γ : -εχόμεθα R ‖ 155 πα (πᾶ) B ; cf. ad Ach. 732 : πᾷ Γ πο R ‖ 156 παραϊδὼν Meineke : παρενιδὼν (-εδ (- R) RΓS rel. παρενιδὼν SA ‖ 157 Καλ. R : Μυρ. Γ ‖ ἀφιῶσ' Port : ἀφίωσ' RΓ ‖ 159 Καλ. R : Μυρ. Γ ‖ 160 λαβόντες δ' R : λαβόντες Γ ‖ 162 Καλ. R : Μυρ. Γ ‖ τύπτωσιν R : τύπτωσι Γ ‖ κακὰ κακῶς Γ : κακὰ κῶς (κα' del.) R.

LAMPITO

Es difícil, por los Dióscuros, para una mujer, dormir toda sola, sin una verga circuncidada; sin embargo, es muy necesaria la paz.

LISÍSTRATA

¡Queridísima y la única mujer entre las que estamos aquí!

CALÓNICA

Y si nos abstuviéramos lo más que fuera posible, de lo que acabas de decir, los dioses no lo quieran, ¿se haría más pronto la paz?

LISÍSTRATA

Mucho más pronto, por ambas diosas. Si nosotras permaneciéramos sentadas en nuestras casas, acicaladas, y entráramos desnudas, con nuestras túnicas[56] de Amorgos, el delta depilado, y a los hombres se les parara, ardientes por el deseo de coger, pero nosotras nos alejáramos, en vez de acostarnos, ellos harían pronto la paz, lo sé perfectamente.

LAMPITO

Así Menelao, cuando vio los senos[57] desnudos de Helena tiró la espada,[58] según creo.

CALÓNICA

¿Y si después los hombres nos dejan ahí plantadas, querida?

LISÍSTRATA

Según el dicho de Ferécrates,[59] nos será necesario "desollar una perra desollada".

CALÓNICA

Esas son simulaciones. Pero ¿si nos cogen por la fuerza y nos arrastran a la alcoba?

LISÍSTRATA

Agárrate a la puerta.

CALÓNICA

¿Y si nos golpean?

LISÍSTRATA

Será necesario prestarnos mal y de mal modo.[60] Porque en estos trances no hay gozo si se hacen por la fuerza. Se requiere hacerlos sufrir. Estén tranquilas,

ΚΛ. Εἴ τοι δοκεῖ σφῷν ταῦτα, χἠμῖν ξυνδοκεῖ.

ΛΑ. Καὶ τὼς μὲν ἁμὰς ἄνδρας ἁμὲς πείσομες
παντᾷ δικαίως ἄδολον εἰράναν ἄγην·
τὸν τῶν Ἀσαναίων γα μάν ῥυᾰχετον.
πᾷ κά τις ἀμπείσειεν αὖ μὴ πλαδδιῆν;

ΛΥ. Ἡμεῖς ἀμέλει σοι τά γε παρ' ἡμῖν πείσομεν.

ΛΑ. Οὔχ, ἃς πόδας γ' ἔχωντι ταὶ τριήρεες
καὶ τᾠργύριον τᾦδυσσον ᾗ πὰρ τᾷ σιᾷ.

ΛΥ. Ἀλλ' ἔστι καὶ τοῦτ' εὖ παρεσκευασμένον·
καταληψόμεθα γὰρ τὴν ἀκρόπολιν τήμερον.
Ταῖς πρεσβυτάταις γὰρ προστέτακται τοῦτο δρᾶν,
ἕως ἂν ἡμεῖς ταῦτα συντιθώμεθα,
θύειν δοκούσαις καταλαβεῖν τὴν ἀκρόπολιν.

ΛΑ. Πάντ' εὖ κ' ἔχοι· καὶ τᾶδε γὰρ λέγεις καλῶς.

ΛΥ. Τί δῆτα ταῦτ' οὐχ ὡς τάχιστα, Λαμπιτοῖ,
ξυνωμόσαμεν, ὅπως ἂν ἀρρήκτως ἔχῃ;

ΛΑ. Πάρφαινε μὰν τὸν ὅρκον, ὡς ὀμιόμεθα.

ΛΥ. Καλῶς λέγεις. Ποῦ 'σθ' ἡ Σκύθαινα; Ποῖ βλέπεις;
Θὲς εἰς τὸ πρόσθεν ὕπτίαν τὴν ἀσπίδα,
καί μοι δότω τὰ τόμιά τις.

ΚΛ. Λυσιστράτη,

167 Καλ. R : Λαμ. Γ ‖ τοι R : τι Γ ‖ σφῷν ταῦτα Fl. Chrestien : ταῦτα σφῷν ταῦτα RΓ ‖ 168 Λαμ. R : om. Γ ‖ ἁμὼς Blaydes cl. 1180 : ἁμῶν RΓ ‖ ἁμὲς Dindorf : ἁμὲς RΓ ‖ 169 παντᾷ Brunck ; πάντα RΓ ‖ ἄγην Ahrens : ἄγειν RΓ ‖ 170 γα R : γε ΓS ‖ ῥυάχετον (-ᾰ- van Leeuwen ; cf. ad 980) Hesych. Phot. : ῥυγχάχετον R ῥυχάχετον ΓS γρ. ῥυάγχετον Γ^2 ‖ 171 κά Dobree ; cf. ad Ach. 799 : καὶ RΓ ‖ ἁμ- Ahrens : ἂν RΓ ‖ πλαδδιῆν RΓ : πλαδδιεῖν S ‖ 173 ἃς πόδας Valckenaer : ἀσπουδὰς R ἃς σποδᾶς Γ ‖ γ' Γ : om. R ‖ ἔχωντι Bentley : ἔχοντι RΓ ‖ 174 τώργύριον L. Dindorf in Thesauro III 2646 : τάργύριον RΓ ‖ πὰρ Koen ad Gregor. Cor. 81 : παρὰ RΓ ‖ 176 vers. del. Bergk ‖ -ληψόμεθα B : -ληψόμεσθα RΓ ‖ 180 πάντ' εὖ κ' ἔχοι· καὶ τᾶδε (jam Biset, τᾷδε Sch.) Schaefer ad Gregor. Cor. 214 ; cf. Σ^R πάντ' ἂν (Wilamowitz, πάντα δ' R) ἔχοι καλῶς : πάντα κ' (γ' Γ) ἔχοι· καὶ τάδε RΓ ‖ 181 τάχιστα RΓ· : τάχιστ' ὦ Γ^2 ‖ 183 ὀμιόμεθα Elmsley ad Ach. 729 : ὁμιώμεθα RΓ ‖ 186 Καλ. R : Μυρ. Γ.

se cansarán pronto. Porque jamás habrá placer para un hombre si no lo hace de acuerdo con su mujer.[61]

CALÓNICA

Si ésta es la opinión de ambas, es también la nuestra.

LAMPITO

Y a nuestros hombres nosotras los persuadiremos de que observen en todo una paz justa y legal. Pero a la chusma tumultuosa de los atenienses ¿cómo persuadirla de que no haga disparates?

LISÍSTRATA

No te preocupes, nosotras convenceremos a los nuestros.

LAMPITO

No mientras tengan piernas sus trirremes[62] y el tesoro inagotable[63] permanezca cerca de la diosa.

LISÍSTRATA

Esto lo hemos previsto debidamente. Nosotras nos apoderaremos de la Acrópolis ahora mismo. Las más viejas han recibido ya la orden de hacerlo. Mientras nosotras deliberamos estas cosas, ellas se apoderarán de la Acrópolis con el pretexto del sacrificio.

LAMPITO

Entonces todo marchará bien. Es bello lo que has dicho.

LISÍSTRATA

Bueno, Lámpito, ¿por qué no ligarnos bajo juramento, para que no pueda ser violado?[64]

LAMPITO

Indícanos qué juramento y cómo lo vamos a hacer.

LISÍSTRATA

Dices bien ¿dónde está la escita?[65] (*se presenta una mujer escita*) ¿No la ves? Pon aquí el escudo al revés y una de ustedes venga a darme las piezas cortadas.[66]

τίν' ὅρκον ὁρκώσεις ποθ' ἡμᾶς;

ΛΥ. Ὄντινα;

εἰς ἀσπίδ', ὥσπερ, φασίν, Αἰσχύλος ποτέ,

μηλοσφαγούσας.

ΚΛ. Μὴ σύ γ', ὦ Λυσιστράτη,

εἰς ἀσπίδ' ὀμόσῃς μηδὲν εἰρήνης πέρι.

ΛΥ. Τίς ἂν οὖν γένοιτ' ἂν ὅρκος; Ἢ λευκόν ποθεν

ἵππον λαβοῦσαι τόμιον ἐντεμώμεθα;

ΚΛ. Ποῖ λευκὸν ἵππον;

ΛΥ. Ἀλλὰ πῶς ὀμούμεθα

ἡμεῖς;

ΚΛ. Ἐγώ σοι νὴ Δί', ἣν βούλῃ, φράσω.

Θεῖσαι μέλαιναν κύλικα μεγάλην ὑπτίαν,

μηλοσφαγοῦσαι Θάσιον οἴνου σταμνίου

ὀμόσωμεν εἰς τὴν κύλικα μὴ 'πιχεῖν ὕδωρ.

ΛΑ. Φεῦ δῆ, τὸν ὅρκον ἄφατον ὡς ἐπαινῶ.

ΛΥ. Φερέτω κύλικά τις ἔνδοθεν καὶ σταμνίον.

ΚΛ. Ὦ φίλταται γυναῖκες, ⟨ὦ⟩ κεραμῶν ὅσος.

Ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών.

ΛΥ. Καταθεῖσα ταύτην προσλαβοῦ μοι τοῦ κάπρου.

Δέσποινα Πειθοῖ καὶ κύλιξ φιλοτησία,

τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής.

ΚΛ. Εὔχρων γε θαῦμα κἀποπυτίζει καλῶς.

188 φασίν (interpung. sign. add. Brunck, -ὶν Γ) Αἰσχύλος Γ : φάσ' ἐν Αἰσχύλῳ R ‖ 189 -σφαγούσας ΓΣ^{R} : -σφαγούσαις R ‖ Καλ. R : Μυρ. Γ ‖ 191-192 ἢ.... ἐντεμώμεθα ; (-μοῦ- H.) Lysistratae contin. Hamaker et Römer cl. Σ^{Rs} παίζει κατὰ τὸν τύπον τῶν Ἀμαζόνων· γυναῖκες γὰρ οὖσαι λευκοὺς ἵππους ἔθυον ; cf. Herod. VII 113 et IV 61 : Καλ. (Μυρ. Γ) εἰ... ἐντεμοίμεθα (ἐκ- R) RΓ ‖ 193 Καλ. et Αυσ. Hamaker et Römer : Αυσ. et Καλ. (Μυρ. Γ) RΓ ‖ 194 Κλε. (Καλ. H.) Hemaker et Coulon cl. 112-114 : Αυσ. RΓ Μυρ. Römer ‖ 197 ὁμόσωμεν R : ὁμόσομεν Γ ‖ 198 Λαμ. Γ : Καλ. R ‖ ἐπαινῶ Elmsley ad. Ach. 739 : ἐπαινῶ RΓ ‖ 199 Αυσ. Γ : om. R ‖ 200-267 desunt in ΓΒ ‖ 200 Καλ. (Κλε.; cf. ad. 6-603) Bentley : Αυσ. R ‖ ⟨ὦ⟩ Tyrwhitt : om. R ‖ κεραμῶν Reiske : κεραμέων R ‖ 202 Αυσ. Bentley : om. R ‖ μοι Brunck : μου R ‖ 205 -πυτίζει Brunck : -πυττίζει R.

CALÓNICA

¿Qué juramento nos haces prestar?

LISÍSTRATA

¿Cuál? Sacrificar un carnero sobre un escudo, como dicen que lo hizo Esquilo [67] en cierta ocasión.

CALÓNICA

No, Lisístrata. Cuando se trata de paz no se jura sobre un escudo.

LISÍSTRATA

Entonces ¿qué juramento se va a hacer? ¿Será necesario coger en alguna parte un caballo blanco [68] para cortarle las entrañas?

CALÓNICA

Y ¿por qué un caballo blanco?

LISÍSTRATA

Pues ¿cómo juraremos entonces?

CALÓNICA

Yo te lo diré, por Zeus, si quieres. Es necesario colocar aquí una gran copa negra, [69] volteada al revés. Sacrificando en vez de un carnero una jarra de vino de Thasos [70] y jurando sobre la copa, no mezclarle nada de agua.

LAMPITO

¡Por Zeus! No diré cómo apruebo este juramento.

LISÍSTRATA

Que alguien traiga de adentro una copa y una jarra (*lo hace una esclava*).

CALÓNICA

¡Oh, queridísimas mujeres! ¡Qué gran jarra! ¡Sólo con tocarla se alegra uno!

LISÍSTRATA

Depositala aquí y sujétame [71] el puerco grande. ¡Oh Soberana Persuasión!, y tú, copa de la amistad, favorable a las mujeres, acepta esta víctima (*vierte el vino en la copa*).

CALÓNICA

¡Qué bello color tiene esta sangre y brilla de maravilla!

ΛΑ. Καὶ μάν ποτόδδει γ' ἀδὺ ναὶ τὸν Κάστορα.

ΚΛ. Ἕατε πρώτην μ', ὦ γυναῖκες, ὀμνύναι.

ΛΥ. Μὰ τὴν Ἀφροδίτην οὔκ, ἐάν γε μὴ λάχῃς.
Λάζυσθε πᾶσαι τῆς κύλικος, ὦ Λαμπιτοί·
λεγέτω δ' ὑπὲρ ὑμῶν μί' ἅπερ ἂν κἀγὼ λέγω·
ὑμεῖς δ' ἑπομεῖσθε ταῦτα κἀμπεδώσετε.
Οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ' ἀνήρ —

ΚΛ. Οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ' ἀνήρ —

ΛΥ. ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. Λέγε.

ΚΛ. ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. Παπαῖ,
ὑπολύεταί μου τὰ γόνατ', ὦ Λυσιστράτη.

ΛΥ. Οἴκοι δ' ἀταυρώτῃ διάξω τὸν βίον —

ΚΛ. Οἴκοι δ' ἀταυρώτῃ διάξω τὸν βίον —

ΛΥ. κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη —

ΚΛ. κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη —

ΛΥ. ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου· —

ΚΛ. ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου· —

ΛΥ. κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τῷμῷ πείσομαι.

ΚΛ. κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τῷμῷ πείσομαι.

ΛΥ. Ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ —

ΚΛ. ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ —

ΛΥ. κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.

ΚΛ. κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.

ΛΥ. Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὼ Περσικά.

ΚΛ. Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὼ Περσικά.

ΛΥ. Οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.

207-209 Καλ. (Κλε. ; cf. ad 6-603) et Αυσ. Lenting : Αυσ. et Καλ. et Αυσ. ante λάζυσθε R ‖ 211 ταῦτα Hirschig : ταυτὰ R ‖ 212-213 οὔτε... οὔτ' Bekker : οὐδε... οὐδ' R ‖ 218 vers. om. R^1 in calce add. R^2 ‖ 229-230 τὼ Dindorf : τὰ RSΣ^{RV} ad Nub. 173.

LAMPITO

Y qué suave olor exhala,[72] por Cástor.

CALÓNICA

Permítanme, mujeres, que yo sea la primera en jurar.

LISÍSTRATA

No, por Afrodita, si no te toca en suerte. Pongan todas la mano en la copa, Lampito, y que una de ustedes repita lo que yo digo y ustedes jurarán y confirmarán su inviolabilidad; ninguno, ni amante, ni marido.

CALÓNICA

Ninguno, ni amante, ni marido...

LISÍSTRATA

Ningún hombre se acercará a mí con la verga parada (*a Calónica que se calla*). Repítelo.

CALÓNICA

Ningún hombre se acercará a mí con la verga parada. ¡Ay! Las rodillas se me doblan, Lisístrata.

LISÍSTRATA

Yo viviré en mi casa sin hombre[73] (sin toro)...

CALÓNICA

Yo viviré en mi casa sin hombre (sin toro).

LISÍSTRATA

Vestida con una túnica azafranada y permaneceré hermosa.

CALÓNICA

Vestida con una túnica azafranada y permaneceré hermosa.

LISÍSTRATA

Para que mi marido arda en deseo[74] de mí...

CALÓNICA

Para que mi marido arda en deseo de mí.

LISÍSTRATA

Y jamás voluntariamente[75] complaceré a mi marido.[76]

CALÓNICA

Y jamás voluntariamente complaceré a mi marido.

LISÍSTRATA

No levantaré mis piernas hacia el techo (mis sandalias a la moda persa)...

ΚΛ. Οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.

ΛΥ. Ταῦτ' ἐμπεδοῦσα μὲν πίοιμ' ἐντευθενί —

ΚΛ. Ταῦτ' ἐμπεδοῦσα μὲν πίοιμ' ἐντευθενί —

ΛΥ. εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῆθ' ἡ κύλιξ.

ΚΛ. εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῆθ' ἡ κύλιξ.

ΛΥ. Συνεπόμνυθ' ὑμεῖς ταῦτα πᾶσαι;

ΠΑΣΑΙ

Νὴ Δία.

ΛΥ. Φέρ' ἐγὼ καθαγίσω τήνδε.

ΚΛ. Τὸ μέρος γ', ὦ φίλη,
ὅπως ἂν ὦμεν εὐθὺς ἀλλήλων φίλαι.

ΛΑ. Τίς ὀλολυγά;

ΛΥ. Τοῦτ' ἐκεῖν' οὐγὼ 'λεγον·
αἱ γὰρ γυναῖκες τὴν ἀκρόπολιν τῆς θεοῦ
ἤδη κατειλήφασιν. Ἀλλ', ὦ Λαμπιτοῖ,
σὺ μὲν βάδιζε καὶ τὰ παρ' ὑμῖν εὖ τίθει,
τασδὶ δ' ὁμήρους κατάλιφ' ἡμῖν ἐνθάδε.
Ἡμεῖς δὲ ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει
ξυνεμβάλωμεν εἰσιοῦσαι τοὺς μοχλούς.

ΚΛ. Οὔκουν ἐφ' ἡμᾶς ξυμβοηθήσειν οἴει
τοὺς ἄνδρας εὐθύς;

ΛΥ. Ὀλίγον αὐτῶν μοι μέλει.
Οὐ γὰρ τοσαύτας οὔτ' ἀπειλὰς οὔτε πῦρ
ἥξουσ' ἔχοντες ὥστ' ἀνοῖξαι τὰς πύλας
ταύτας, ἐὰν μὴ 'φ' οἷσιν ἡμεῖς εἴπομεν.

ΚΛ. Μὰ τὴν Ἀφροδίτην οὐδέποτέ γ'· ἄλλως γὰρ ἂν
ἅμαχοι γυναῖκες καὶ μιαραὶ κεκλήμεθ' ἄν.

235-236 ἐμπλῆθ' ἡ Dawes : ἐμπλησθῆ RS ‖ 237 -όμνυθ' Bentley : -όμνυσθ' R ‖ Πᾶσαι van Leeuwen : Μυρ. R ‖ 238 γ' Venetus (1538) : τ' R ‖ 240 ὀλολυγά (ἃ 'λο- Bentley) Dindorf : ἃ ολολυγά R ‖ τοῦτ' Bergler : ταῦτ' R ‖ οὐγὼ Kuster : οὐκ ἐγω R ‖ 243 ὑμῖν Reisig : ὑμῶν R ‖ 244 -λιφ' Brunck : -λειφ' R ‖ 245 ἄλλαισι Reiske : ἄλλαισιν R ‖ 249 οὔτ'... οὔτε Bekker ad 212-213 : οὐδ'... οὐδὲ R ‖ 253 κεκλήμεθ' Cratandriana (ed. Basil. I. 1532) : κεκλήμεσθ' R.

CALÓNICA

No levantaré mis piernas hacia el techo.

LISÍSTRATA

No me acostaré como leona sobre el rallador de queso.[77]

CALÓNICA

No me acostaré como leona sobre el rallador de queso.

LISÍSTRATA

Si guardo mi juramento, pueda beber de aquí...

CALÓNICA

Si guardo mi juramento, pueda beber de aquí.

LISÍSTRATA

Pero si no lo cumplo, que la copa se me llene de agua...

CALÓNICA

Pero si no lo cumplo, que la copa se me llene de agua.

TODAS

Sí, por Zeus.

LISÍSTRATA

Yo te ofrezco ésta en sacrificio (*bebe de la copa*).[78]

CALÓNICA

Sólo tu parte, querida, para que desde este momento seamos todas amigas (*se pasan la copa. Se oye un grito a lo lejos*).

LAMPITO

¿Qué son esos gritos?

LISÍSTRATA

Es lo mismo que decía: las mujeres se han apoderado de la Acrópolis de la diosa. Vamos Lampito. Vete a arreglar los asuntos de tu país y déjanos a éstas como rehenes[79] (*se va Lampito*). Nosotras vamos a reunirnos con las otras mujeres en la Acrópolis para ayudarlas a poner los cerrojos.[80]

CALÓNICA

¿No piensas que enseguida vendrán los hombres contra nosotras?

LISÍSTRATA

Me importa muy poco. No podrán ni con tales amenazas o tal fuego hacer que abramos estas puertas, si no es con las condiciones que hemos puesto.

Χώρει, Δράκης, ἡγοῦ βάδην, εἰ καὶ τὸν ὦμον ἀλγεῖς
κορμοῦ τοσουτονὶ βάρος χλωρᾶς φέρων ἐλάας.

Str.

Ἦ πόλλ' ἄελπτ' ἔνεστιν ἐν τῷ μακρῷ βίῳ, φεῦ,
ἐπεί τίς ἄν ποτ' ἤλπισ', ὦ Στρυμόδωρ', ἀκοῦσαι
γυναῖκας, ἃς ἐβόσκομεν
κατ' οἶκον ἐμφανὲς κακόν,
κατὰ μὲν ἄγιον ἔχειν βρέτας
κατά τ' ἀκρόπολιν ἐμὴν λαβεῖν,
μοχλοῖς δὲ καὶ κλῄθροισιν
τὰ προπύλαια πακτοῦν;

Ἀλλ' ὡς τάχιστα πρὸς πόλιν σπεύσωμεν, ὦ Φιλοῦργε,
ὅπως ἂν αὗταῖς ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτί,
ὅσαι τὸ πρᾶγμα τοῦτ' ἐνεστήσαντο καὶ μετῆλθον,
μίαν πυρὰν νήσαντες ἐμπρήσωμεν αὐτόχειρες
πάσας, ἀπὸ ψήφου μιᾶς, πρώτην δὲ τὴν Λύκωνος.

Ant.

Οὐ γὰρ μὰ τὴν Δήμητρ' ἐμοῦ ζῶντος ἐγχανοῦνταί· ἐπεὶ οὐδὲ Κλεομένης, ὃς αὐτὴν κατέσχε πρῶτος,
ἀπῆλθεν ἀψάλακτος, ἀλλ'
ὅμως Λακωνικὸν πνέων
ᾤχετο θῶπλα παραδοὺς ἐμοί,
σμικρὸν ἔχων πάνυ τριβώνιον,
πινῶν βύπ', ἀπαράτιλτος,
ἐξ ἐτῶν ἄλουτος.

Οὕτως ἐπολιόρκησ' ἐγὼ τὸν ἄνδρ' ἐκεῖνον ὠμῶς

